**Exegetisk genomgång av evangeliet för Palmsöndagen, Markusserien, 2021**

**Markus 11:1-11**

Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱεροσόλυμα εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο
τῶν μαθητῶν αὐτοῦ 2 καὶ λέγει αὐτοῖς· ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθὺς
εἰσπορευόμενοι εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον ἐφ᾽ ὃν οὐδεὶς οὔπω ἀνθρώπων ἐκάθισεν· λύσατε
αὐτὸν καὶ φέρετε. 3 καὶ ἐάν τις ὑμῖν εἴπῃ· τί ποιεῖτε τοῦτο; εἴπατε· ὁ κύριος αὐτοῦ χρείαν ἔχει, καὶ εὐθὺς
αὐτὸν ἀποστέλλει πάλιν ὧδε. 4 καὶ ἀπῆλθον καὶ εὗρον πῶλον δεδεμένον πρὸς θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου
καὶ λύουσιν αὐτόν. 5 καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· τί ποιεῖτε λύοντες τὸν πῶλον; 6 οἱ δὲ
εἶπαν αὐτοῖς καθὼς εἶπεν ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς. 7 καὶ φέρουσιν τὸν πῶλον πρὸς τὸν Ἰησοῦν καὶ
ἐπιβάλλουσιν αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ᾽ αὐτόν. 8 καὶ πολλοὶ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς
τὴν ὁδόν, ἄλλοι δὲ στιβάδας κόψαντες ἐκ τῶν ἀγρῶν. 9 καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον·
ὡσαννά· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· 10 εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς
ἡμῶν Δαυίδ· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

11 Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα εἰς τὸ ἱερὸν καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας,
ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.

**Struktur:**

1) 11:1-3 Jesus instruerar två lärjungar att hämta ett föl
2) 11:4-6: lärjungarnas utför befallningen enligt Jesus instruktion
3) 11:7-10 Jesus rider fram på en beredd väg och hälsas med Hosianna-rop
4) 11:11 Jesus ser sig om i templet och lämnar åter staden.

**Bakgrund:** Markus 1:2-3

**Vägtemat** i Markus: 1:2, 3; 2:23; 4:4, 15; 6:8; 8:3, 27; 9:33, 34; 10:17, 32, 46, 52; 11:8; 12:14. Bara 2:23 och 8:3 saknar teologiska övertoner. 7 av de 14 återstående i 8:22-10:52.

Det oanvända för sakrala bruk: 4 Mos 19:2; 5 Mos 21:3; 1 Sam 6:7; 2 Sam 6:3.